]. . εαυτόν, ἵνα φράϲηι ϲεϲωμένουϲ
]ṿτεϲ ὀλίγων.
(Θη.) οἶδα.
⟨Ϲτρ.⟩ πρὸϲ τὴν μητέρα
]μεν· τί οὖν δεῦρ' ἔρχεται μαθὼν πάλιν
καὶ μάλα ϲπουδῆι] βαδίζων;
(Θη.) καὶ ϲκυθρωπὸϲ ἔρχεται.
(Ϲτρ.) μή τι ϲυμβέβη]κεν ἡμῖν, Πυρρία, νεώτερον;
μὴ γὰρ ἡ μήτηρ] τέθνηκε.
(ΠΥΡΡΙΑϹ) πέρυϲιν.
(Ϲτρ.) οἴμοι· γραῦϲ ϲφόδρ' ἦν·
]ϛ ἐκείνη γέγονεν.
(Πυ.) ἀλλ' ἐν πράγμαϲιν,
Ϲτρατοφάνη, κ]αινοῖϲ ἔϲει ϲὺ ϲφόδρα τ' ἀνελπίϲτοιϲ τιϲίν.
οὗ δοκεῖϲ οὐκ ἦϲ]θαϲ ὑόϲ, ὡϲ ἔοικεν.
(Ϲτρ.) ἀλλὰ τοῦ;
(Πυ.) ]ο τελευτῶϲ' ἐνθαδὶ τὸ ϲὸν γένοϲ
ἔ]γραψεν.
(Θη.) ἀποθνήιϲκων οὐ φθονεῖ
οὐδενὸϲ τοῖϲ ζ]ῶϲιν ἀγαθοῦ· τοὺϲ ἑαυτοῦ ϲ' ἀγνοεῖν
οὐκ ἐβούλετο.
(Πυ.) οὐ μόνον δ' ἦν τοῦτο. καὶ δίκην δέ τωι
ὦφλεν ὁ πατήρ, ὡϲ ἔοικε, ζῶν ὁ ϲὸϲ Βοιωτίωι—
(Ϲτρ.) ἐπυθόμην.
(Πυ.) πολλῶν ταλάντων, Ϲτρατοφάνη, κατὰ ϲύμβολα.
(Ϲτρ.) ἦλθε περὶ τούτων ἁπάντων μοι τότ' εὐθὺϲ γράμματα
τήν τε τοῦ πατρὸϲ τελευτὴν ἅμα λέγοντ' εἰϲ Καρίαν.
(Πυ.) ὄντ' ἀγώγιμόν ϲε τούτωι πυθομένη τῶν τοὺϲ νόμουϲ
εἰδότων τήν τ' οὐϲίαν ϲου, τοῦτο προὐνοεῖτό ϲου
καὶ τελευτῶϲ' ἀπεδίδου ϲε τοῖϲ ἑαυτῶν εὐλόγωϲ.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/281 UNIVERSITÄT LEIPZIG